Ακαδημία Αθηνών / Academy of Athens



σὺν τὰ τὸ τέταρτον ἀπὸ μίαν ἐλαίαν, ὁποῖον ἐστὶν τὸ εἰρημένον / 19 χωράφιον εἰς τὸ χωρίον τῶν Καβαδάτων |ἐλεύθερον| πλησίον ὀσπιτίου τοῦ Λουρᾶ / 20 καὶ πλησίον ὀσπιτίου τοῦ εἰρημένου κὺρ Ἀνδρέα, ὁποῖον ὡμολόγησεν ὁ προρρηθεὶς / 21 κὺρ Ἀνδρέας ὅτι ἔλαβεν τὰ ἄνωθεν προειρημένα ὑπέρπυρα ὀβδομήντα τρία / 22 ἀπὸ χειρὸς τοῦ κὺρ Παύλου Κοκικόρη καὶ διὰ τοῦτο ἔδωσεν πρὸς αὐτὸν καὶ / 23 πρὸς τοὺς κληρονόμους καὶ διαδόχους αὐτοῦ |ἰσχὺν| τοῦ ποιοῦν αὐτὰ ὡς θέλουν / 24 καὶ βούλονται, πωλ(εῖν), δωρεῖσθαι καὶ τὰ ἑξῆς. Ὑπεσχέθη καὶ τοῦ διαυθεντίζειν / 25 αὐτὰ ἀπὸ παντὸς ἀνθρωπίνου σώματος. Εἰς νομὴν ἔθεσεν αὐτὸν διὰ κον / 26 δυλίου καὶ τὰ ἑξῆς. Ὑπὸ μαρτυρίας κὺρ Θεοδωρῆ Βραγχνοῦ καὶ παπὰ κὺρ Βασι / 27 λείου Καβάδη καὶ κὺρ Μιχαὴλ Μοναχοῦ καὶ κὺρ Νικολάου Μηνᾶ. / 28 ‚ζιβ'. Ὁ < > ρέστο ὑπέρπυρα η' καὶ ἄσπρα β'.

## 138

### *Ανταλλαγή*

† ‚αφδ' ἡμέρᾳ ιη' τοῦ Δεκεβρίου μηνὸς ἰνδικτιῶνος η'. Παπὰ κὺρ Βασίλειος ὁ Καβάδης ἀπὸ χωρίον τῶν Καβαδάτων / 2 διὰ μέρος αὐτοῦ καὶ διὰ μέρος τῶν αὐταδέλφων αὐτοῦ ἀπόντων, ὡς εἶπεν ὁ ρηθεὶς ἱ / 3 ερ(εύς), ἀπὸ ἑνὸς μέρους καὶ κὺρ Γεώργιος ὁ Μηνᾶς καὶ ἡ νύμφη αὐτοῦ Κατερίνη δι / 4 ὰ μέρος τῶν παδίων τοῦ ποτὲ Παύλου Μηνᾶ καὶ τῆς εἰρημένης Κατερίνης ἀπὸ χωρίον τῶν / 5 Καβαδάτων ἀπὸ ἑτέρου μέρους. Τὰ δύο μέρη σωματικῶς παρόντες ὡμολόγησαν / 6 καὶ εἶπον ὅτι ἐσυμφώνησαν καὶ ἐποίησαν ἀνταλλαγὴν καὶ γὰρ ὁ παπὰ κὺρ Βασίλειος / 7 ὁ Καβάδης ἔδωσεν καὶ ἐπαρέδωσεν πρὸς τοὺς εἰρημένους Γεώργιον καὶ Κατερίνην δι / 8 ὰ μέρος τῶν παιδίων τοῦ ποτὲ Παύλου Μηνᾶ χωράφιν ἀπὲ τὸν αὐλότοπον αὐτῶν / 9 τὸ μάκρος ὀριὰς ιβ' ἥμισυ καὶ τὸ [[μάκρ]] πλάτος ὀριὰς δ', ὁποῖον ὑπάρχει εἰς τὸ / 10 χωρίον τῶν Καβαδάτων, πλησίον καὶ σύνεγγυς ἕτερον αὐλότο<πον> τοῦ ἄνωθεν ἱερέως / 11 μὲ τὴν ἀδελφοσύνην του πλησίον καὶ σύνεγγυς ὀσπιτίου καὶ αὐλοτόπου / 12 τῶν παιδίων τοῦ ἄνωθεν ποτὲ Παύλου Μηνᾶ ἐλεύθερον ἀπὸ παντὸς βάρους καὶ τέλους. // *φ. 34β'* / 13 Καὶ γὰρ οἱ ρηθέντες Γεώργιος ὁ Μηνᾶς καὶ ἡ νύμφη αὐτοῦ Κατερίνη ἔδωσαν / 14 καὶ ἐπαρέδωσαν καὶ αὐτοὶ πρὸς τὸν εἰρημένον παπὰ κὺρ Βασίλειον τὸν Καβάδην / 15 μὲ τὴν ἀδελφοσύνην του ἀντίτυπον τοῦ προειρημένου χωραφίου / 16 ἀπὸ τὸ χωράφιον τῶν παιδίων τοῦ ποτὲ Παύλου Μηνᾶ τὸ μάκρος ὀριὰς ιβ' ἥμισυ / 17 καὶ τὸ πλάτος ὀριὰς δ', ὁποῖον ὑπάρχει εἰς τὸ χωρίον τῶν Καβα<δά>των, πλησίον / 18 χωραφίου κὺρ Παύλου Κοκικόρη, πλησίον χωραφίου τοῦ κὺρ Μιχαὴλ τοῦ / 19 Καβάδη, πλησίον χωραφίου Μιχαὴλ Μοναχοῦ καὶ τῆς ὁδοῦ δημοσίας καὶ / 20 ὅθεν ἤρξατο ἐλεύθερον ἀπὸ παντὸς βάρους καὶ τέλους. / 21 Ὑπὸ μαρτυρίας πρωτοπαπὰ κὺρ Πέτρου Κοντοῦ, κὺρ Θεοδωρῆ Βραγχνοῦ καὶ / 22 κὺρ Παύλου Κοκικόρη.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ